www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΑΓΙΩΝ ΕΝΔΟΞΩΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΩΝ ΑΓΑΠΗΣ, ΕΙΡΗΝΗΣ, ΧΙΟΝΙΑΣ, ΤΩΝ ΑΥΤΑΔΕΛΦΩΝ



Ποίημα Στυλιανοῦ Μακρῆ, Δρος Θ.,
Πρωτοπρεσβυτέρου τοῦ Οἰκουμενικοῦ Θρόνου

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΩΝ ΑΓΙΩΝ ΕΝΔΟΞΩΝ
# ΜΕΓΑΛΟΜΑΡΤΥΡΩΝ

# ΑΓΑΠΗΣ, ΕΙΡΗΝΗΣ, ΧΙΟΝΙΑΣ,
# ΤΩΝ ΑΥΤΑΔΕΛΦΩΝ

Ψαλλομένη τῇ 16ῃ μηνὸς Ἀπριλίου
(ἢ κατ᾽ ἔθος τῇ Πέμπτῃ τῆς Διακαινησίμου)

Ποίημα Στυλιανοῦ Μακρῆ, Δρος Θ.,
Πρωτοπρεσβυτέρου τοῦ Οἰκουμενικοῦ Θρόνου

(ΤΗΡΟΥΝΤΑΙ ΠΝΕΥΜΑΤΙΚΑ ΔΙΚΑΙΩΜΑΤΑ)

# ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια**

**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.**

**Ὡ**ς ὁμονοίᾳ παρθένοι ὁμολογήσασαι, τὸν Κύριον τῆς δόξης, ἀναστάντα ἐκ τάφου, μάρτυρες φωτὶ ἀκτίστῳ Αὐτοῦ, τὰς ψυχὰς καταλάμπετε, τῶν γεραιρόντων ὑμῶν τὸ πυριβριθές, τρισμακάριστοι μαρτύριον.

**Δ**ιὰ πυρὸς ἐξελθοῦσαι Κυρίου ἄξιαι, εὑρέθητε παρθένοι, ὡς ἐν χωνευτηρίῳ, κόραι ὁ χρυσὸς ἀφῇ καθαρθείς, τῆς φλογὸς καὶ ἀνήχθητε, εἰς οὐρανίους λειμῶνας ἀναψυχῆς, καὶ μονὰς μακαριότητος.

**Τ**οὺς νυμφικοὺς ὑμῶν λύχνους ὁμοῦ πληρώσασαι, ὡς φρόνιμοι παρθένοι, τῆς θυσίας ἐλαίου, κόσμου τὴν μωρίαν ὑπὲρ Χριστοῦ, ἀπεστράφητε μάρτυρες, ἵνα ἐλέους καὶ δόξης ἐν οὐρανοῖς, ἐσαεὶ συναπολαύσητε.

**Δ**ότε ἡμῖν ἐκ τοῦ οἴνου τῆς ἐναθλήσεως, ὑμῶν πιεῖν παρθένοι, ὅπως συνευφρανθῶμεν, πάντες μεθ' ὑμῶν καὶ δόξαν Θεῷ, ἀληθῆ ἀναπέμψωμεν, τῷ εὐεργέτῃ τοῦ κόσμου καὶ λυτρωτῇ, καὶ σωτῆρι τῶν ψυχῶν ἡμῶν.

**(ἕτερα δύο διὰ χρῆσιν ἐν Θεσσαλονίκῃ)**

**Θ**εσσαλονίκης τὰ κρίνα τὰ εὐωδέστατα, αὐτάδελφοι Εἰρήνη, Χιονία Ἀγάπη, πάσῃ οἰκουμένῃ κόραι ὀσμήν, εὐωδίας προχέετε, πνευματικῆς καὶ τὸ πλήρωμα μυστικῶς, Ἐκκλησίας συνευφραίνετε.

**Θ**εσσαλονίκη ἀγάλλου ἐπὶ ταῖς σαῖς σεπταῖς, ἁγίαις θυγατράσιν, ταῖς τρισὶν αὐταδέλφοις· αὗται γὰρ τῷ θρόνῳ τῷ ὑψηλῷ, παῤῥησίᾳ παρίστανται, τοῦ Βασιλέως τῆς δόξης Ὃν ὑπὲρ σοῦ, ἐκτενῶς καθικετεύουσι.

**Δόξα. Ἦχος δ΄.**

**Ὥ**σπερ οἱ Ἀβραμιαῖοι παῖδες, ἐν τῇ καμίνῳ ποτὲ ῥιφθέντες, τρισυποστάτῳ Θεῷ, ὕμνον ἀνέμελπον τρισάγιον, οὕτω καὶ ὑμεῖς αὐτάδελφοι, κιθαρισμῷ τῆς ἐσχάρας, καὶ φθογγῇ φλογὸς μελουργοῦ, τὰ μέλη τῆς σαρκὸς ὑμῶν συντόνως, ὡς ὕμνον προσηνέγκατε, καὶ δοξολογίας αἶνον, τῇ ὑπερθέῳ Τριάδι· ὁ δὲ τῶν ἀΰλων νόων χορός, κυκλόθεν ὑμῶν ἱστάμενος, συνήχει τὸ τοῦ ἐγκωμίου ἀντίφωνον· ὅθεν οὖν καὶ ἡμεῖς οἱ πιστοί, μακάριαι παρθένοι, σὺν αὐτῷ ἐναρμονίοις ᾄσμασιν, νυνὶ ἐπαινοῦμεν, τὸ πυριλαμπὲς ὑμῶν μαρτύριον.

**Καὶ νῦν. Θεοτοκίον.**

**Ἐ**κ παντοίων κινδύνων, τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σὲ δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

## Ἀπόστιχα

**Ἦχος β΄. Αἱ ἀγγελικαί.**

**Μ**νήμην ἱεράν, τοῦ πυρόεντος ἀγῶνος, μάρτυρες ὑμῶν, ἐκτελοῦντες μετὰ πόθου, ὑμῖν θερμῶς βοῶμεν· τὰς καρδίας θερμάνατε, ζέσει ἀγαπήσεως Κυρίου, καὶ θαλπωρῇ τῆς μετανοίας, ψυχὰς ἔνδοξοι, τῶν ἀνυμνούντων τὰ ὑμῶν, σπουδαῖα παλαίσματα.

Στίχος. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

**Ἄ**νωθεν λαὸν, ἐποπτεύσατε Κυρίου, ὥσπερ παρ' Αὐτοῦ, θείαν χάριν δεδεγμέναι, καὶ τὴν πειραζομένην, Ἐκκλησίας νεότητα, σπεύσατε φυλάξαι ἀπὸ πάσης, ἐπιβουλῆς τοῦ πονηρίας, δεινοῦ ἄρχοντος, καὶ ἐπηρείας τῶν παθῶν, αὐτάδελφοι μάρτυρες.

Στίχος. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

**Ἔ**κνοος φθογγή, πυριθύμου ἡγεμόνος, ἐπ' ἀφανισμῷ, ἐσκεδάσθη εἰς ἀέρα, ὑμῶν δὲ ἡ γενναία, μαρτυρίου ἀπόφασις, πνεύσει θείου Πνεύματος κατέστη, εἰς στηριγμὸν τῆς Ἐκκλησίας, στεῤῥὸν ἔρεισμα, καὶ εἰς βεβαίωσιν σαφῆ, αὐθαίμονες πίστεως.

**Δόξα. Τριαδικόν.**

**Ο**ἴκτιρον ἡμᾶς, τοὺς σὲ Πάτερ Λόγε Πνεῦμα, ὡς τριαδικήν, ἐν μονάδι κοινωνίαν, πιστῶς ὁμολογοῦντας, καὶ Θεὸν ὁμοούσιον, ἔλεος διδοὺς ἡμαρτηκόσι, καὶ τῷ φωτὶ τῷ τρισαυγεῖ Σου, ψυχὰς κάθαρον, ἡμῶν τοῦ ῥύπου τῶν παθῶν, λιταῖς τῶν μαρτύρων Σου.

**Καὶ νῦν. Θεοτοκίον.**

**Τ**όμον ἱερόν, ἐν ᾧ γέγραπται δακτύλῳ, Λόγος τοῦ Πατρός, σὲ γιγνώσκομεν καὶ λύχνον, ἀκοίμητον πρεσβείας, Θεοτόκε Πανύμνητε· ὅθεν τῷ Υἱῷ σου καὶ Δεσπότῃ, ἡμᾶς τοῦ γράψαι εἰς τὴν βίβλον, ζωῆς πρέσβευε, παραγραφὴν ἁμαρτιῶν, ἡμῶν ἐξαιτήσασα.

**Νῦν ἀπολύεις, τὸ Τρισάγιον,**

**τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ**

**καὶ Ἀπόλυσις**

# ΕΝ ΤΩ͂ ΜΕΓΑΛΩ͂ ΕΣΠΕΡΙΝΩ͂

**Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ.**

**Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η΄**

**καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια**

**Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος.**

**Ὢ** τῆς θαυμαστῆς ἀθλήσεως! ἐν ἀγκάλαις φλογός, ἀνεκλίθη ἔνδοξοι, ὑμῶν τὰ μαρτυρικῶς, καυθέντα σώματα. Διὸ καὶ ὡς θησαυρόν, Θεσσαλονίκη ἐν σπλάχνοις πολύτιμον, κατέχουσα τὰ σεπτά, ὑμῶν καὶ χάριν θαυμάτων πηγάζοντα, λείψανα παρθένοι χαίρει, ἐν Κυρίῳ πάντοτε, τῷ παρέχοντι κόσμῳ, δι' ὑμῶν τὸ μέγα ἔλεος.

**Ὢ** τοῦ παραδόξου θαύματος! αἱ πανόλβιαι τρεῖς, καὶ ἁγναὶ αὐτάδελφοι, πυρί τε τῷ ὑλικῷ, ἀνακαινίζονται, καὶ Πνεύματι μυστικῶς, εἰς κολυμβήθραν καμίνου καὶ χρίονται, σφραγῖδι μαρτυρικῇ, καὶ ἁπτομένην λαμπάδα κομίζονται, εἰς ὁμολογίαν πᾶσι, τρισαυγοῦς φωτίσματος, τοῦ παρέχοντος κόσμῳ, δι' αὐτῶν τὸ μέγα ἔλεος.

**Ὢ** τῆς εὐφροσύνης σήμερον! τῶν μαρτύρων χοροί, καὶ ὁσίων σύλλογοι, παρθένοι εἰς οὐρανούς, ὑμᾶς προπέμπουσι. Αὐτῶν δὲ περιφανῶς, ὁ μυροβλύτης ἰθύνων προΐσταται, Δημήτριος ὁ ἡμᾶς, νυμφαγωγῶν εἰς Χριστὸν παναοίδιμοι, Ὧ σὺν τῇ Μητροπαρθένῳ, ἐκτενῶς πρεσβεύσατε, δωρηθῆναι τῷ κόσμῳ, δαψιλῶς τὸ μέγα ἔλεος.

**Ὢ** τῆς ἐπιζήλου μάρτυρες, καρτερίας ὑμῶν! πῶς μανέντος ἄρχοντος, ἀνδρείως τὰς ἀπειλάς, ἐξουδενώσατε! πῶς πίστεως τῇ ἀλκῇ, τὰ ἀσθενῆ κατεβάλετε φύσεως! πῶς ἔρωτι θεϊκῷ, πυρποληθεῖσαι σαρκὸς ὑπεμείνατε, ὑπὲρ τοῦ Χριστοῦ τὴν καῦσιν, Ὧ καὶ νῦν πρεσβεύετε, δωρηθῆναι τῷ κόσμῳ, δαψιλῶς τὸ μέγα ἔλεος!

**Ἦχος α΄. Πανεύφημοι μάρτυρες.**

**Αὐ**τάδελφοι μάρτυρες Χριστοῦ, ἐδωδὴν ἠλέκτορι, πεινητικῷ προσηνέγκατε, τὰ σώματα ὑμῶν, πόμμα τε τὸ αἷμα, διψαλέοις ἄνθραξιν, Αὐτὸν ὁμολογήσασαι ἅγιαι, Θεὸν καὶ Κύριον, καὶ τὴν βρῶσιν ἐργασάμεναι, εἰς αἰῶνας, παρθένοι τὴν μένουσαν.

**Αὐ**τάδελφοι μάρτυρες Χριστοῦ, θρασυστόμου ἄρχοντος, οὐχ ὑμᾶς κόραι ἐπτόησεν, πυρίφθογγος βουλή, ἀλλ' ἐν ὁμονοίᾳ, γνώμης ὡς ἀνδρόβουλοι, ἡδέως τῆς σαρκὸς προσεδέξασθε, τὴν καῦσιν ἔνδοξοι, ὡς εἰδώλων τὰ σεβάσματα, προσκυνῆσαι, καλῶς ἐξηρνήθητε.

**Αὐ**τάδελφοι μάρτυρες Χριστοῦ, ὑψηλῷ φρονήματι, τῆς παρθενίας ἐσβέσατε, τὴν φλόγωσιν παθῶν, καὶ ἀλκίμῳ πίστει, εἰς Χριστὸν ἰσχύσατε, ἀρχόντων καὶ δαιμόνων τὰς φάλαγγας, κατετροπώσατε, καὶ στεφάνους ἐκομίσησθε, ἀφθαρσίας, ὡς κόσμον νικήσασαι.

**Α**ὐτάδελφοι μάρτυρες Χριστοῦ, θαυμασταὶ προστάτιδες, Θεσσαλονίκης καὶ ἔφοροι, αὐτῆς καὶ ἀρωγοί, οὐρανόθεν χάριν, τῶν θαυμάτων πέμψατε, λαῷ τιμητικῶς ἀναμέλποντι, ὑμῖν ἐγκώμια, καὶ τὴν πόλιν ὑμῶν ῥύσασθε, τῶν κινδύνων, καὶ τῶν περιστάσεων.

**Δόξα. Ἦχος β΄.**

**Ἔ**θος πασχάλιον, ὀπτᾶσθαι τοὺς ἀμνούς, ἵνα πάντες εὐφρανθῶσιν· ἡμῖν δὲ τέθυνται ἀμνάδες τρεῖς, οὐκ εἰς γεῦσιν, ἀλλ' εἰς τέρψιν πνευματικήν· εἰ καὶ πάλαι ἐκαύθησαν, νῦν δὲ χάριτι πυρπολούμεναι, φρυκτωροῦσιν ἡμῖν, ὁδὸν πρὸς Κύριον, τοῖς διακαῶς ποθοῦσιν Αὐτόν. Δεῦτε οὖν φιλέορτοι, τὰς αὐταδέλφους ἐγκωμιάσωμεν, Ἀγάπην Εἰρήνην καὶ Χιονίαν, τὴν αὐτῶν πρεσβείαν αἰτησάμενοι, ὑπὲρ τοῦ σωθῆναι, τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν. Ἦχος ὁ αὐτός.**

**Π**αρῆλθεν ἡ σκιὰ τοῦ νόμου, τῆς χάριτος ἐλθούσης· ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω παρθένος ἔτεκες, καὶ παρθένος ἔμεινας· ἀντὶ στύλου πυρός, δικαιοσύνης ἀνέτειλεν ἥλιος· ἀντὶ Μωϋσέως Χριστός, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

**Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας**

**καὶ τὰ Ἀναγνώσματα**

Σοφίας Σολομῶντος (κεφ. 3, 1), Παροιμιῶν (κεφ. 31, 10, 26), Σοφίας Σολομῶντος (κεφ. 5, 16)

**Εἰς τὴν Λιτήν**

**Ἦχος α΄.**

**Χ**όρευε Θεσσαλονίκη, ἡ ἁγιοτόκος καὶ συμβασιλεύουσα· σήμερον ἡ οἰκουμένη, ἅπασα συγχαίρει σοι, ὅτι αἱ τρεῖς καλλιπάρθενοι θυγατέρες σου, εἰς νυμφῶνα οὐράνιον συνεισάγονται, ἵνα συμβασιλεύσωσιν τῷ Νυμφίῳ, καὶ Βασιλεῖ τῆς δόξης Χριστῷ· Σὺ δὲ ὡς Αὐτῷ ἀγχιστεύουσα χαίρε· καὶ γὰρ αἱ αὐτάδελφοι μάρτυρες, ὑπὲρ σοῦ καὶ τῷ λαῷ σου, τῇ Παναγίᾳ Τριάδι, ἐκτενῶς πρεσβεύουσι.

**Ἦχος β΄.**

**Ὁ** νυμφὼν ἐστόλισται· αἱ σάλπιγγες ἠχήτωσαν· αἱ νύμφαι γὰρ ἥκουσιν· ἀρθήτω ἡ πύλη τοῦ Παραδείσου· ἅπαντα τοῦ γάμου ἕτοιμα· εἴσελθε λαὲ τοῦ Θεοῦ· σύναςαι ταῖς νοεραῖς δυνάμεσιν· ὕμνησον εὐθύς, τὰς τρεῖς φρονίμους παρθένους· δόξασον τὸν Νυμφίον Χριστόν· χόρευσον Αὐτῷ καὶ ἀναβόησον· Δόξα Σοι Θεὲ Παντοκράτορ, ὁ δι' ἡμᾶς σαρκωθείς, καὶ ἀναστὰς ἐκ νεκρῶν, ὁ Σωτὴρ καὶ Λυτρωτής, τῶν ψυχῶν ἡμῶν.

**Ἦχος γ΄.**

**Ε**ἴπατε παράνομοι, τί ἐπείγεσθε συλλαβέσθαι, τὰς πανευφήμους μεγαλομάρτυρας ἡμῶν; ὁ γὰρ μυροβλύτης Δημήτριος, προκατέλαβεν ὑμᾶς. Τί ζητεῖτε ταύτας συγκαθεῖρξαι; αὗται φυλακῇ τοῦ νοός, ἐπιμελῶς καὶ τὸ σῶμα προδιέθεντο. Τί δεσμὰ

ἑτοιμάζετε; οὐκ ἔγνωτε ὅτι ταῦτα, τοῦ κόσμου διέῤῥηξαν, τὴν ἐλευθερίαν προκρίνουσαι, τῶν τέκνων τοῦ Θεοῦ; Τί παρ' αὐτῶν ἐξαιτεῖτε λόγον; νυνὶ τῷ Θεῷ Λόγῳ συνῳμίλουν. Τί ματαίως ἅπτετε φλόγα; ἤδη προσκέκαυνται Αὐτῷ, ἐν τῇ καμίνῳ τοῦ θείου ἔρωτος. Τί αὐτὰς θανατοῦτε; ἐν ὁμονοίᾳ ἐλογίζοντο αἱ κόραι, ἑαυτὰς νεκρὰς μὲν εἶναι τῇ ἁμαρτίᾳ, νῦν δὲ ζῶσιν εἰς τὸν αἰῶνα, πρεσβεύουσαι Χριστῷ, τῷ Κυρίῳ ἡμῶν.

**Ἦχος δ΄.**

**Ὢ** κοινὸν αὐτάδελφον Εἰρήνης κάρα, πειθαρχεῖν Θεῷ δεῖ μᾶλλον ἢ ἀνθρώποις, ἡ μακαρία Ἀγάπη ἐβόα σὺν τῇ Χιονίᾳ· ἐκ μιᾶς μητρὸς ἐτέχθημεν, ἑνὶ βαπτίσματι ἐβαπτίσθημεν, εἰς ἕνα Θεὸν πεπιστεύκαμεν, μίαν πίστιν ὁμολογοῦμεν· ὁμοῦ συνετράφημεν, ὁμοῦ καὶ παρθενεύομεν, ὁμοῦ καὶ τὸν ἀγῶνα διεξαγάγωμεν. Θάρσει οὖν καὶ δεῦρο ἀκολούθει ἡμῖν, εἰς τὸ γενναῖον μαρτύριον, ἵνα ὁμοῦ καὶ τὸν Παράδεισον οἰκήσωμεν, καὶ ἀξιωθῶμεν πρεσβεύειν, ὑπὲρ τῆς οἰκουμένης.

**Ἦχος πλ. α΄.**

**Σ**ήμερον αἱ ἀγλαεῖς μεγαλομάρτυρες, καὶ τρεῖς αὐτάδελφοι, τῷ Δεσπότῃ τῶν ὅλων Χριστῷ, προσκομμίζουσιν τὰ δῶρα αὐτῶν· τὴν σμύρναν τῆς ὁμολογίας, καὶ ζωὴ αἰώνιος αὐταῖς προφητεύεται· τὸν χρυσὸν τῆς παρθενίας, ἵνα εἰς οὐρανοὺς βασιλεύσωσιν· τὸν λίβανον τοῦ ἐπ' ἄνθρακας μαρτυρίου, καὶ ἰδοὺ θυσία ἱερουργεῖται. Διὸ καὶ ὁ Βασιλεὺς τῆς Δόξης, ταῦτα ἀσμένως προσδεχόμενος, ἀντιδωρεῖται αὐταῖς, τὴν χάριν τῆς θεώσεως, καὶ ἀξιοῖ αὐτὰς πρεσβεύειν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Ἦχος ὁ αὐτός. Καὶ νῦν.**

**Μ**ακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

**Ἀπόστιχα**

**Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.**

Χαίροις Εἰρήνη μάρτυς σεμνή, περιστερὰ καταλλαγῆς πρὸς τὸν ἄρχοντα, εἰρήνης ἡμαρτηκότων· χαίροις Ἀγάπη κλυτή, ἐρατώνυμέ τε καὶ ἐπώνυμε, ἀγάπης πρὸς ἄνθρωπον, θεϊκῆς· χαίροις ἔνδοξε, ὑπὲρ χιόνα, λευκανθεῖσα εἰς κάμινον, τῆς ἀθλήσεως, Χιονία θεόπυρε· χαίρετε πολυδόξαστοι, αὐθαίμονες μάρτυρες· μὴ διαλείπητε κόραι, ὁμοῦ ἀπαύστως πρεσβεύουσαι, Χριστῷ ζωοδότῃ, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχος. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Χαίροις τῶν αὐταδέλφων Τριάς, ἡ παρθενίᾳ καὶ ἀθλήσει πασίφημος, ἡ καύχησις ἐν Κυρίῳ, τοῦ φιλοχρίστου λαοῦ, καὶ Θεσσαλονίκης τὸ ἀγλάϊσμα, νεότητος ἄμεσος, ἐν πρεσβείαις ἀντίληψις· χαίροις μαρτύρων, ἡ ἐπίκτητος εὔκλεια· χαίροις ἔνδειξις, καρτερίας ἐν θλίψεσιν, πίστεως ἡ πολύφωτος, λυχνία καὶ ἔμπυρον, ὁμολογίας

σημεῖον, τοῦ Βασιλέως τῆς κτίσεως, Ὢ πρέσβευε τάχει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχος. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Χαίροις Τριὰς μαρτύρων Χριστοῦ· ὅτε συντρίψασα τὴν κάραν τοῦ ὄφεως, τοῦ ψεῦδος εἰσαγαγόντος, ψιθυρισμῷ ἐν Ἐδέμ, καὶ τὸ θῆλυ δόλῳ ἀπατήσαντος, κατήλλαξας ἔξοδον, Εὔας θανάτου ὀψώνιον, ἀντὶ εἰσόδου, εἰς Παράδεισον ἔνδοξε, γυναικείᾳ σου, σωφροσύνῃ ἐκόμισας, τότε ζωὴν ἀκήρατον, καὶ δόξαν οὐράνιον, τριὰς φρονίμων παρθένων· διὸ μὴ παύσῃ πρεσβεύουσα, ἀπαύστως Κυρίῳ, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ΄.

Σήμερον ὁ ἄφρων ἄρχων, ἄκων προφητεύει. Φησὶ γάρ· τὰς βίβλους τῶν χριστιανῶν, εἰς πυρὰν παραδώσω, ἵνα κατακαυθῶσιν, καὶ ἐξαλείψω τὰ ἐν αὐτοῖς γραφέντα λόγια. Ὢ τῆς ματαιοπονίας! Οὐ γὰρ ἔγνω ὅτι μᾶλλον τῶν προφητῶν καὶ ἀποστόλων, καὶ τοῦ Κυρίου τὰ ῥήματα, ἐν καρδίᾳ διετήρουν, αἱ τρεῖς αὐτάδελφοι κόραι, ἡ μὲν Χιονία ὡς φυλάττουσα, τὸν τοῦ βαπτίσματος χιτῶνα ἀῤῥύπωτον, κατὰ τὸ προφητικὸν ‘πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι’, ἡ δὲ Ἀγάπη τὸ τέλειον, τῆς παραγγελίας ὡς κτησαμένη, κατὰ τὸν τῶν ἐθνῶν ἀπόστολον, τὸν λέγοντα ‘τὸ τέλειον, τῆς παραγγελίας ἀγάπη ἐστί’, καὶ ἡ ὀλβία Εἰρήνη, τὴν δωρεὰν τοῦ Κυρίου ὡς ἔχουσα, κατὰ τὸν Αὐτὸν εἰπόντα, ‘εἰρήνην τὴν ἐμήν, δίδωμι ὑμῖν’. Ὅθεν καὶ εἰς κάμινον ταύτας κελεύει ῥιφθῆναι. Ἀλλ’ ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται, οὐδὲ κέκαυται· αἱ τρεῖς γὰρ καλλιπάρθενοι, τοῦτον μαρτυροῦσι ζῶντα, καὶ καταγγέλουσιν ἐν πάσῃ οἰκουμένῃ, ἀπαύστως πρεσβεύουσαι, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ἦχος ὁ αὐτός.

**Ἀ**νύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν ἱκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα, καθαρισμὸν τῶν πταισμάτων· νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

**Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ παρὸν Ἀπολυτίκιον**

**Ἦχος πλ. α΄. Τὸν Συνάναρχον. (Γερασίμου).**

**Ὡ**ς αὐτάδελφοι κόραι καὶ οὐρανόφρονες, πρὸς εὐσεβείας ἀγῶνας ὁμονοοῦσαι καλῶς, τὸν ἀρχέκακον ἐχθρὸν κατεπαλαίσατε, Χιονία ἡ σεμνή, σὺν Ἀγάπῃ τῇ κλυτῇ, Εἰρήνη ἡ πανολβία, καὶ νῦν Χριστὸν δυσωπεῖτε, ἐλεηθῆναι τὰς ψυχὰς ὑμῶν.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

### Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα

**Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.**

**Φ**ωτὶ τριαδικῷ, Χιονία Ἀγάπη, Εἰρήνη θαυμασταί, αὐγασθεῖσαι παρθένοι, ὁμοῦ ἐν στερεώματι, οὐρανοῦ ὡς ὑπέρλαμπροι, καὶ πολύφωτοι, ὤφθητε Κόραι ἀστέρες, οἱ ἐκπέμποντες, νῦν οἰκουμένῃ τὰς θείας, ἀκτῖνας τοῦ Πνεύματος.

**Δόξα. Ὅμοιον.**

**Τ**ὸν φόβον τῆς φλογός, ἔξω ἔβαλλεν ὅλως, ὑμῶν ἡ πρὸς Χριστόν, τὸν Νυμφίον ἀγάπη· ἐν πρώτοις γὰρ ἐκαύθητε, ἐμπρησμῷ θείου ἔρωτος, εἶτα ῥάδιον, ὑμῖν ἐφάνη παρθένοι, τὸ μαρτύριον, πυρὸς δι' οὗ τελευτῆσαι, καλῶς προεκρίνατε.

**Καὶ νῦν. Ὅμοιον.**

**Τ**ριάδος Ἀγαθή, ἐξαιρέτως κατέχεις, ὡς μήτηρ τοῦ Χριστοῦ, δευτερεῖα Παρθένε, καὶ Τούτου ἀναστάντος δέ, τὰ πρωτεῖα Πανάχραντε, ἐξετάσεως, θείου φωτὸς τοῦ ἐκ τάφου, ἀνατείλαντος, δικαιοσύνης ἡλίου, καὶ κόσμον φωτίσαντος.

### Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα

**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

**Ὡ**ς ἄρτους προσήνεγκαν, κατοπτηθέντας πυρί, τὰ ἴδια σώματα, τῷ Ἀρχιθύτῃ Χριστῷ, αἱ τρεῖς καλλιπάρθενοι, αἵτινες μετασχοῦσαι, τῆς ἀντιδωρηθείσης, χάριτος εὐποροῦσιν, ἀγαθῶν αἰωνίων, καὶ δόξης ὡς Ἐκκλησίας, μεγαλομάρτυρες.

**Δόξα. Ὅμοιον.**

**Ο**ὐ κόσμου τὰ μάταια, οὐδὲ σαρκὸς ἡδοναί, ὑμᾶς διεχώρισαν, ἀπὸ ἀγάπης Χριστοῦ, αὐτάδελφοι ἔνδοξοι· σχοῦσαι γὰρ ἐστραμμένην, πρὸς Αὐτὸν τὴν καρδίαν, ῥέοντα ὁμοθύμως, ἐξηρνήθητε βίου, παρόντος καὶ πρὸς θυσίαν, συνεκπορεύθητε.

**Καὶ νῦν. Ὅμοιον.**

**Ο**ὐ σθένει ἡ βρότειος, γλῶσσα ὑμνῆσαι τὰ σά, Ἁγνὴ ὑπερένδοξα, ἢ ἐπαρκῶς σοι Σεμνή, ἀνθ' ὧν ἀπηλαύσαμεν, ἔπαινον ἀποδοῦναι, ἢ προσάξαι ἀξίως, λόγον εὐχαριστίας, ὅτι Λόγον ἀφράστως, Θεὸν ὑπὲρ σωτηρίας, τοῦ κόσμου ἔτεκες.

### Μετὰ τὸν Πολυέλεον, Κάθισμα

**Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.**

**Ε**ἰ καὶ ἔξω τῶν τειχῶν, Θεσσαλονίκης θαυμασταί, ἠγωνίσθητε λαμπρῶς, περιτειχίζετε αὐτήν, τὴν οἰκουμένῃ γνωσθεῖσαν ἁγιοτόκον· εἰ καὶ τῆς Ἐδέμ, ἔνδον ἔνδοξοι, δόξης

οὐρανῶν ἀπειλήφατε, τοὺς ἐκτελοῦντας πάντοτε τὴν μνήμην, τὴν ὑμετέραν πρεσβεύσατε, ἀξιωθῆναι χάριτος θείας, καὶ ἐλέους Κυρίου.

**Δόξα. Ὅμοιον.**

**Ε**ἰς τὴν βίβλον τῆς ζωῆς, ἅγιαι ἔγραψεν ὑμῶν, τὰ ὀνόματα Χριστός, αὐτοχειρὶ τῷ ἱερῷ, ἀποχρησάμενος αἵματι τῆς ἀδίκου, μάρτυρες σφαγῆς, ἣν θεόληπτοι, πίστει ἀκλινεῖ, ὑπεμείνατε, ὅθεν ἀεὶ καὶ ἡμᾶς ἐν πρεσβείαις, ταῖς πρὸς Αὐτὸν μνημονεύετε, ἵνα ῥυσθῶμεν τῆς ἐν τῷ Ἅδῃ, ἀγνωσίας παρθένοι.

**Καὶ νῦν. Ὅμοιον.**

**Κ**ατεπλάγησαν Ἁγνή, τῶν ἀσωμάτων οἱ χοροί, ὅτε εἶδον ἐν τῇ σῇ, γαστρὶ τὴν σύλληψιν Θεοῦ, τοῦ κατὰ νοῦν Παναμώμητε ἀσυλλήπτου· ὅτε δὲ Σταυρῷ, διετέμνετο, Ἅδου ἡ γαστήρ, ἡ ἀκόρεστος, οἱ ἀπ’ αἰῶνος Κόρη τεθνηκότες, χεῖρας ἐκρότουν τῷ τόκῳ σου, δοξολογοῦντες Αὐτὸν καὶ ὕμνοις, συνεπῄνουν σε πάντες.

**Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον·**

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχος: **Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις Αὐτοῦ.**

**Εὐαγγέλιον τῶν Δέκα Παρθένων. (Σάββατον ΙΖ΄ Ματθαίου).**

**Ὁ Ν΄ ψαλμός.**

**Δόξα. Ταῖς τῶν αὐταδέλφων...**

**Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...**

**Εἶτα τὸ παρὸν ἰδιόμελον. Ἦχος πλ. β΄.**

**Τ**ίς ἁψάμενος λύχνον, ὑπὸ τὸν μόδιον τίθησιν αὐτόν; Ὑμᾶς δὲ πανθαύμαστοι μεγαλομάρτυρες Χριστοῦ, ὥσπερ τρίφωτον λυχνίαν εὕρομεν, διὸ καὶ τὴν μνήμην ὑμῶν, οὐχ ὑπὸ μόδιον λήθης ἔθημεν, ἀλλ’ ἵνα λάμψῃ πάσῃ τῇ οἰκουμένῃ, θεηγόροις ᾄσμασι γεραίρομεν. Ὅθεν καὶ τῷ φωτὶ τοῦ κτίσαντος, τῷ ὑμᾶς καταυγάσαντι, τὰς ψυχὰς ἡμῶν φωτίσατε, ἵνα θεασώμεθα τὴν δόξαν, τῆς τρισυποστάτου θεότητος, Ἦ μὴ παύσητε πρεσβεύουσαι, ὑπὲρ πάντων ἡμῶν.

**Εἶτα ὁ κανὼν τῶν μαρτύρων, οὗ ἡ ἀκροστιχίς:**

**«Ἅψατε, μάρτυρες, τὸ πῦρ μετανοίας μου. (Στυλιανοῦ Πρεσβυτέρου)».**

**Ὠδὴ α΄. Ἦχος α΄. Ἀναστάσεως ἡμέρα.**

**Ἀ**ναστήσασαι παρθένοι τὸν καινὸν ἐν ἡμῖν, ἄνθρωπον τῷ Νυμφίῳ, προσωμοιώθητε Χριστῷ, καὶ νῦν μάρτυρες φωτί, Αὐτοῦ νοητῷ, ἡμᾶς καταυγάζετε, ἐπινίκιον ᾄδοντας.

**Ψ**υχαπάτῃ ἑωσφόρῳ ἀντιστρέψασαι πῦρ, τῆς πρὸς Θεὸν ἀγάπης, τὴν θεοστύγητον αὐτοῦ, καὶ πυρώδη καθ’ ὑμῶν, μανίαν φλογί, ὑμῶν ἀπεσβέσατε, μαρτυρίου αὐτάδελφοι.

**Ἀ**γαπήσασαι ἐξ ὅλης τῆς καρδίας ὑμῶν, μάρτυρες παιδιόθεν, τὸν Ἰησοῦν μετὰ χαρᾶς, προσηνέγκατε Αὐτῷ, ὑμῶν τῆς σαρκός, τὰ μέλη τὰ τίμια, ὡς δεκτὸν ὁλοκαύτωμα.

**Θεοτοκίον.**

**Τ**ὸν τριήμερον ἐκ τάφου ἀναστάντα Χριστόν, Μῆτερ ὡς τετοκυῖα, τοῦ ἐπιλάμψαι καὶ ἡμῖν, Ἀναστάσεως τὸ φῶς, καὶ σῶσαι ἡμᾶς, Αὐτὸν καθικέτευε, Παναμώμητε Δέσποινα.

**Ὠδὴ γ΄. Δεῦτε πόμα πίωμεν.**

**Ἔ**ρωτι τρωθεῖσαι τοῦ Χριστοῦ, παρθενίᾳ τὸ σῶμα ἐκαλλωπίσατε, καὶ ἀρεταῖς τὴν ψυχήν, καὶ ὄλβιαι κόσμου τὰ τερπνά, ὁμοῦ ἀπεστράφητε.

**Μ**έσῳ συνιστάμεναι πυρός, ὡς οἱ ἐν Βαβυλῶνι παῖδες τρισάγιον, τρισυποστάτῳ Θεῷ, ἀνέμελπον ὕμνον αἱ σεμναί, αὐτάδελφοι μάρτυρες.

**Ἄ**νθη τὰ μυρίπνοα κλυταί, εἰς ὀσμὴν εὐωδίας προσεκομίσθητε, πνευματικῆς τῷ Χριστῷ, Παράδεισον κόραι εὐπρεπῶς, κοσμοῦσαι μακάριαι.

**Θεοτοκίον.**

**Ῥ**όδον τὸ ἀμάραντον Ἁγνή, ἀμαράντων στεφάνων διὰ πρεσβείας σου, καὶ Βασιλείας Χριστοῦ, Παρθένε ἀξίωσον ἡμᾶς, τοὺς σὲ μεγαλύνοντας.

**Κάθισμα**

**Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.**

**Ἰ**σχυκότες ἡττᾶσθε ὅτι Θεός, μεθ’ ἡμῶν ἰσχυρὸς ἐξουσιαστής, βοᾶτε αὐτάδελφοι, ἀντιθέοις δυνάμεσιν, ὡς γυναικείᾳ φύσει ὑμῶν ἐπαλαίσατε, δαιμονιόληπτόν τε μισόχριστον ἄρχοντα, τούτου θαρσαλέως, τὴν σαφῶς ἐπηρμένην, ὀφρὺν καὶ τοῦ δαίμονος, καθελοῦσαι τὸ φρύαγμα· καὶ μικρόν γε ἡττώμεναι, κόσμον συνενικήσατε. Ὅθεν παῤῥησίᾳ Χριστόν, ὑπὲρ τοῦ σῶσαι ψυχὰς ἱκετεύσατε, τῶν ὑμᾶς ἐπαινούντων ἔνδοξοι μάρτυρες.

**Θεοτοκίον.**

**Ἀ**ναστάντος ἐκ τάφου τοῦ σοῦ Υἱοῦ, τὸ ἀνέσπερον φάος Αὐτοῦ βροτῶν, πρωτίστη ἑώρακας, ἐξαιρέτως Πανάχραντε, ὡς ἐν ἀγκάλαις ἔσχες Αὐτὸν καὶ ἐθήλασας, τοῖς μακαρίοις μαστοῖς σου ἐκθρέψασα γάλακτι. Ὅθεν δυσωπῶ σε, Παναγία Παρθένε, φωτί με καταύγασον, ἵνα ἴδω τὴν δόξαν σου, ὅταν μέλλω παρίστασθαι, πρὸ προσώπου τοῦ Κτίστου μου, Δέσποινα ἡ μήτηρ φωτός, αὐτή με ῥύσασα τότε κολάσεως. Καὶ γὰρ δύνασαι ὅσα θέλεις Πανάμωμε.

**Ὠδὴ δ΄. Ἐπὶ τῆς θείας φυλακῆς.**

Ταῖς μυροβλύτου διδαχαῖς, ἐν τῇ στοᾷ Καταφυγῆς, εἰς τὴν ὑπερκόσμιον γνῶσιν, ἐμυεῖσθε μάρτυρες, αὐτοῦ τρανῶς κηρύττοντος· Ἄνωθεν σωτηρία τῷ κόσμῳ, ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

Ὑπερορᾶν τῶν ἡδονῶν, καὶ τοῦ φρονήματος σαρκός, ὁ μεγαλομάρτυς παρῄνει, τοῦ Χριστοῦ Δημήτριος, ὑμᾶς παρθένοι ἔνδοξοι, τρίβον τοῦ μαρτυρίου εὐθύνων, καὶ σὺν ὑμῖν ἑαυτῷ, ὁδὸν πρὸς Κύριον.

Ῥῆξον δαιμόνων πονηρῶν, τὸ ἀντικείμενον ἡμῖν, στράτευμα Τριὰς αὐταδέλφων, τούτων ἀποτρέπουσα, ἐπιδρομὰς καὶ αἴρουσα, δόλου τὰς μηχανὰς ἡμᾶς πάντας, εἰς ἱερὰν κατ’ αὐτῶν, μάχην ἀντίταξον.

**Θεοτοκίον.**

Ἐπὶ τὸ φῶς τοῦ σοῦ Υἱοῦ, οἱ ἐν ταῖς ᾌδου φυλακαῖς, ἔδραμον τῶν πέδων ῥυσθέντες, καὶ δεινοῦ ἀλάστορος· τοῦ δὲ Χριστοῦ Πανάμωμε, ὅλως ἐδοξάσθη τὸ κράτος, καὶ σοῦ ὑμνήθη τρανῶς, τὸ ἀειπάρθενον.

**Ὠδὴ ε΄. Ὀρθρίσωμεν ὄρθρου βαθέος.**

Συλῆσαι τὸν νοῦν σου ἐν οἴκῳ, χαμαιτυπίας Εἰρήνη ὁ δαίμων οὐχ ἱκανώθη, ἀλλ’ εὐχαῖς πρὸς Κύριον, σαρκὸς φυγοῦσα σπίλωσιν, τοῦτον παρθένε κατῄσχυνας.

Τεχνάζων ὁ ἄρχων ματαίως, σοῦ μεταστρέψαι τὴν πίστιν Ἀγάπη παρθενομάρτυς, κατὰ σοῦ ἐμαίνετο, καὶ αὖθις ἐδωρήσατο, σοὶ τὴν φλογόεσσαν ἄθλησιν.

Ὁ πάλαι δροσίσας τρεῖς παῖδας, ἐν τῇ καμίνῳ ῥιφθέντας καὶ πέμπων εἰς γῆν χιόνα, Χιονία ἄνωθεν, ψυχήν σου ἀνεδέξατο, εἰς οὐρανοὺς ἀναψύξεως.

**Θεοτοκίον.**

Παθῶν μου οὐ σβέννυται καῦμα, ὅτι οὐ κέκτημαι ὅλως μετάνοιαν Θεοτόκε, ἧς λιταῖς σου ἄναψον, τὴν φλόγα ἵνα σώσῃς με, πυρὸς ἀσβέστου κολάσεως.

**Ὠδὴ στ΄. Κατῆλθες ἐν τοῖς κατωτάτοις.**

Ὑλάκτουν οἱ δαιμόνων προσκυνηταί, ὥσπερ κῦνες καθ’ ὑμῶν ἀνοήτως, ὁρῶντες τὸ τῆς καρδίας ὑμῶν ἀμετάστατον, δι’ ὃ ἄφθαρτον ὑμῖν, κόραι δέδοται στέφος.

Ῥοώδης ὄντως ἐκ κοιλίας ὑμῶν, ποταμὸς ὕδατος ζῶντος ἐῤῥύη, ὁ σβέσας τὰς ἡδονὰς τῆς σαρκὸς καλλιπάρθενοι, καὶ ἀπέτρεψεν ὑμᾶς, τοῦ πυρὸς τῆς βασάνου.

Μωρία ἕλλησιν ὁ λόγος Σταυροῦ, ἀλλὰ δύναμις Θεοῦ καὶ σοφία, παρθένοι ὑμῖν ταῖς νύμφαις Χριστοῦ Ὦ φρονήσεως, προσηνέγκατε ὑμῶν, τὰς λαμπάδας ἐν πίστει.

## Θεοτοκίον.

Ἐρέβους σῶσόν με ἀλάστου Ἁγνή, ἐξελκύσασά με σκότους παθῶν μου, ἐλλάμψει τοῦ ἀενάου φωτὸς ἀναστάσεως, ὃ σκεδάννυσι σκιάς, ἀγνωσίας Κυρίου.

## Κάθισμα

Ἦχος β΄. **Εἰ καὶ ἐν τάφῳ.**

Εἰ καὶ αἰθάλη οὐκ ἄνευ πυρώσεως, ἀλλ' αἰθαλόεντα πάθη ἠφάνισεν, θείου ἔρωτος ἅψας πῦρ Χριστὸς ὁ Θεός, ἐν ὑμῖν τοῦ καθᾶραι ἐκ ῥύπων τῷ Πνεύματι, τῷ Αὐτοῦ Παναγίῳ ἁγναὶ τὰς ψυχὰς ὑμῶν, ὁ τοῖς ἁγίοις παρέχων τὴν εὔκλειαν.

## Ὁ Οἶκος

Τὸν πρὸ ἡλίου Ἥλιον λάμψαντά ποτε ἐκ τάφου, θεάσασθαι ἐζήτουν, αἱ αὐτάδελφοι παρθένοι μυστικῇ ὁράσει, καὶ πρὸς ἀλλήλας ἐβόων· Ὦ φίλαι, δεῦτε τῷ τοῦ αἵματος καινουργήσωμεν, θείῳ μαρτυρίῳ τὴν ἡμετέραν, σάρκα τὴν βροτείαν καὶ θνητογενῆ ἐξ Ἀδάμ, κάμινον μὴ πτοούμεναι· σπεύσωμεν, ᾄσωμεν ὥσπερ Ἑβραῖοι, παῖδες τῷ Κτίσαντι, καὶ προσκομίσωμεν τὸν ὕμνον Ἡλίῳ, τῷ μὴ γνόντι δύσιν, ἀλλ' ἀνατέλλοντι ἀϊδίως, καὶ κράξωμεν· ἀκτῖνάς Σου, ὦ Δέσποτα ὑμῖν ἔλλαμψον, ὁ τοῖς ἁγίοις παρέχων τὴν εὔκλειαν.

## Συναξάριον

**Τῇ ιστ΄ τοῦ αὐτοῦ μηνὸς (ἢ τῇ Πέμπτῃ τῆς Διακαινησίμου), μνήμη τῶν ἁγίων ἐνδόξων παρθενομαρτύρων Ἀγάπης, Εἰρήνης καὶ Χιονίας, τῶν αὐταδέλφων.**

**Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.**

**Ὠδὴ ζ΄. Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος.**

Τριάδος ὑπερθέου ἐνέπνευσεν, τὸ ἓν τῆς βουλήσεως, ἅγιαι ὑμᾶς, ὑπὲρ Χριστοῦ διὰ πυρὸς, ὁμοθύμως θανεῖν ὁμοδόξαστοι, καὶ πίστει ὁμολογῆσαι ἀφόβως, Αὐτὸν μεγαλομάρτυρες.

Ἀρχαίου πτερνιστοῦ συνεθλάσατε, τὴν κάραν στοιχήσασαι, μάρτυρες Χριστῷ, ὑπακοῆς καινῷ Ἀδάμ, τῷ ὑμᾶς διαθρέψαντι γνώσεως, καρπῷ ἐκ τοῦ τῆς σταυρώσεως ξύλου, βροτείας τε θεώσεως.

Νομίμως ἀθλησάμεναι εὔαθλοι, νομίμως ἐστέφθητε, ὅτι τοῦ Χριστοῦ, τὸν θεῖον νόμον ἀκλινῶς, ἐτηρήσατε ὅθεν προσδέξασθε, ἐγκώμια τῶν ὑμᾶς γεραιρόντων, ὡς ἆθλα πολυδόξαστοι.

## Θεοτοκίον.

Ὃν εἶδας θανατώσαντα θάνατον, καὶ Ἅδου σκυλεύσαντα, κράτος Ἀγαθή, καὶ ἀναστάντα ἐκ νεκρῶν, ἁμαρτῇ ἐγερθῆναί με Δέσποινα, ἐκ τάφου ἁμαρτωλοῦ καὶ θανάτου, ψυχῆς μου καθικέτευε.

**Ὠδὴ η΄. Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα.**

Ἴθυνον ὁδὸν μαρτυρίου αἱ νύμφαι, Χριστοῦ ἐν ὁμονοίᾳ, ἔχουσαι ὅλως καρδίαν, ἐστραμμένην Αὐτῷ, καὶ εὐθύνουσαι τὰς τρίβους τοῦ πνεύματος, ἐν ᾧ συνεώρων, Αὐτὸν ἐν θείᾳ δόξῃ.

Αὕτη ἡ λαμπρὰ ἑορτὴ καὶ φωσφόρος, γενέθλιος ἡμέρα, τῶν αὐταδέλφων κατέστη, ὡς ἐκ μήτρας φλογός, θυγατέρες ἐξῆλθον γὰρ τρίδυμοι, πυρίναις ὠδῖσι, καμίνου πολυτόκου.

Σπένδουσαι λοιβὴν τὸ ὑμέτερον αἷμα, Πατρὶ Ἐπουρανίῳ, τοῦ ἀκηράτου ἰχῶρος, αἱμοδότου Χριστοῦ, μετειλήφατε δι’ οὗ καὶ δεδώρηται, ὑμῖν χριστοφόροι, ζωὴ ἀθανασίας.

**Θεοτοκίον.**

Μάκρυνον ταχὺ λογισμοὺς τῆς αἰσχύνης, ῥοπάς τε ψυχοκτόνους, καὶ ἡδονῶν τὰς ἐφόδους, ἀπ’ ἐμοῦ τοῦ πιστῶς, εἰς τὴν σκέπην σου Ἁγνὴ καταφεύγοντος, ὡς ἄν σε γεραίρω, εἰς πάντας τοὺς αἰῶνας.

**Ὠδὴ η΄. Φωτίζου φωτίζου.**

Οὐ πόνος οὐ λύπη, οὐ στεναγμὸς ἀλλὰ ζωή, ἀτελεύτητος ἔνθα μετετέθης ἔνδοξε, σὺν αὐταδέλφοις Εἰρήνη σεπτή, ἵνα Χριστοῦ θείας βασιλείας, συναπολαύσῃς θεόπυρε.

Ὑπὲρ τοῦ νοῆσαι, πάντας τοῦ ἔρωτος Χριστοῦ, τὸ μυστήριον μάρτυς, ὦ Ἀγάπη πρέσβευε, ἅπτουσα πῦρ μετανοίας ἡμῖν, καὶ ἡδονῶν φλόγωσιν σβεννῦσα, ἀειφλεγῆ ἐν σοὶ χάριτι.

**Σ**εμνὴ Χιονία, μαρμαρυγαῖς θείου φωτός, ὡς ὑπέρλαμπρον ἄστρον, ἐν νυκτὶ πταισμάτων μου, λῦσον ἀχλὺν τοῦ νοός μου ταχύ, ὅπως τὴν σὴν δόξαν μακαρία, ἐν Παραδείσῳ θεάσωμαι.

**Θεοτοκίον.**

**Π**αρθένε Μαρία, μῆτερ Ἡλίου νοητοῦ, ἀναστάσεως τύπον, τοῖς πιστοῖς ἐκλάμπουσα, κάθαρον ῥύπους παθῶν δνοφερῶν, ἵνα πυρὸς πάντες λυτρωθῶμεν, κολαστηρίου πρεσβείαις σου.

**Ἐξαποστειλάρια**

**Ἦχος β΄. Τοῖς μαθηταῖς συνέλθωμεν.**

**Τ**ὰς αὐταδέλφους σπεύσωμεν, ἐν ὄρει παρθενίας, τοῖς τοῦ νοὸς θεάσασθαι, ὄμμασι πῶς δυνάμει, Χριστοῦ ἀθλοῦσιν αἱ κόραι· μάθωμεν πῶς ἡττᾶται, ἡ σὰρξ ὑπὸ τοῦ πνεύματος, καὶ παθῶν ἐκριζοῦνται αἱ ἀφορμαί, καὶ μεγάλης νίκης πῶς ἀξιοῦνται, οἱ μῦσται τῆς ἁγνότητος, ὥσπερ αἱ τρεῖς παρθένοι.

**Θ**εσσαλονίκη χόρευε· δόξασον τὸν Δεσπότην, τὸν ἐκ καμίνου σώσαντα, παῖδας Ἑβραίων πάλαι, καὶ τὸν ταῖς σαῖς θυγατράσιν, δόντα ἀντὶ στεφάνων, ἀφθάρτων

καταλλάξασθαι, καὶ λαμπρᾶς θείας δόξης εἰς οὐρανούς, τὴν σαρκὸς πυρπόλησιν· ὅθεν τέρπου, ὡς ταύτας ἔχεις πάντοτε, εἰς πρεσβείαν ἑτοίμους.

**Θεοτοκίον.**

**Τ**ὴν ἐκ νεκρῶν ἀνάστασιν, Χριστοῦ τοῦ ζωοδότου, δεῦτε πιστοὶ δοξάσωμεν· δράμωμεν προσκυνῆσαι, τὸν θεοδέγμονα τάφον· ἴδωμεν τοῦ θανάτου, τὸ κράτος πῶς κατήργηται, τῷ Σταυρῷ τοῦ Δεσπότου καὶ ἐν χαρᾷ, τῇ Ἁγνῇ βοήσωμεν Θεοτόκῳ· Χριστὸς ἀνέστη Δέσποινα, ὁ Υἱὸς καὶ Θεός σου.

**Εἰς τοὺς Αἴνους**

**Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**

**Μ**άρτυρες αὐτάδελφοι, μετὰ θανάτου πυρίναις, συνδιαλεξάμεναι, γλώσσαις ἐστομώσατε τοῦτον ἅγιαι, καὶ ὑμῶν πάντιμοι, τῶν Χριστοῦ ἀμνάδων, ἀφωνίᾳ ἐτρανώσατε, πῶς δεῖ πανάριστοι, τοὺς χριστιανοὺς πολιτεύεσθαι, καὶ θνήσκειν ὑπὲρ πίστεως, εἰς Θεὸν τεχθέντα καὶ μέλλοντα, πάλιν μετὰ δόξης, ἐλθεῖν καὶ δοκιμάσαι ἐν πυρί, σύμπαντα Ὦ καὶ πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Μ**άρτυρες αὐτάδελφοι, φόβῳ Θεοῦ συσχεθεῖσαι, τολμηρῶς ἀοίδιμοι, ἄρχοντα παράληρον ἐξελέγξατε, κραταιῷ ῥήματι, ἄνωθεν σοφίας, καὶ ἀδείμως ᾐτιάσασθε, περὶ φαυλότητος, καὶ ἀβελτηρίας τὰ εἴδωλα, διὸ καὶ ἠξιώθητε, θρόνῳ τοῦ Κυρίου παρίστασθαι, ὡς ἐν παῤῥησίᾳ, πρεσβεύουσαι ὑπὲρ τῶν παρ' ὑμῶν, ἐκδεχομένων τὴν ἄμεσον, παρθένοι ἀντίληψιν.

**Μ**άρτυρες αὐτάδελφοι, εἰ καὶ ἐν γῇ κεκρυμμένα, τὰ ὑμῶν πανίερα, λείψανα τυγχάνουσιν ἀλλ' ἀρδεύουσι, φανερῶς ἅγιαι, ὡς πεπληρωμμένα, θείας χάριτος τὸ εὔσπορον, Χριστοῦ γεώργιον, ὅθεν καὶ αὐτὰ ἱκετεύομεν, πιστοῖς ἀποκαλύψατε, ἵνα κατασπάσασθαι σπεύσωμεν, ταῦτα μετὰ πόθου, καὶ χάριτας θαυμάτων δαψιλῶς, εἰς κουφισμὸν ἀρυσώμεθα, ἁγναὶ τῶν ψυχῶν ἡμῶν.

**Μ**άρτυρες αὐτάδελφοι, ὡς παρθενίας εὐώδη, ἄνθη καὶ σεμνότητος, ῥόδα τὰ μυρίπνοα καὶ τῆς πίστεως, τοῦ Χριστοῦ ἴανθα, καὶ ὡραῖα κρῖνα, τῆς ἁγνείας καὶ ἡδύοσμα, ἐκαλλωπίσατε, κῆπον Παραδείσου οὐράνιον, ἐν ᾧ καὶ ἐφυτεύθησαν, πάντες οἱ νομίμως ἀθλήσαντες, μάρτυρες Κυρίου, καὶ ὅσιοι μεθ' ὧν πανευκλεεῖς, ἀδιαστάτως πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Δόξα. Ἦχος πλ. α΄.**

**Δ**εῦτε λάβετε φῶς, ἐκ τῆς τριλαμποῦς λυχνίας· οὐκ ἀσεβεῖς ἧψαν τὴν θρυαλλίδα· ἡ γὰρ ὑπ' αὐτῶν ἀφὴ τῆς φλογός, ἠκολούθησεν τῇ σφετέρᾳ ἀπωλείᾳ, καὶ ἠφάνισεν ἐν Ἅδῃ, τὴν ἐκείνων μᾶλλον μῆνιν, ἢ τὴν τῶν αὐταδέλφων μνήμην. Ἀλλὰ τὸ πῦρ τῆς θεότητος ἀκαύστως, εἰς θέωσιν ταύτας πληροῖ, οὗ ταῖς ἀκτῖσι σελαγοῦσιν, τὴν Ἐκκλησίαν, καὶ τὴν οἰκουμένην φωτίζουσιν, καὶ τὰς ψυχὰς αὐγάζουσι, τῶν ἀνυμνούντων, καὶ ἐν πίστει γεραιρόντων, τὴν αὐτῶν πυρίκαυστον ἄθλησιν.

www.tezaurliturgic.ro

**Καὶ νῦν. Θεοτοκίον.**

**Μ**ακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.



**ΟΙ ΤΡΕΙΣ ΜΕΓΑΛΟΜΑΡΤΥΡΕΣ**